*ἀπαγγέλλων᾽, ἐκεῖνον ʽοὐκ εὐφημήσετε᾽ φάναι ʽγάμων ὄντων καὶ προάξετε θᾶσσον, ὡς ὑμᾶς τῆς θυσίας περιμενούσης;᾽ πάντας μὲν οὖν ἡσθῆναι, τὸν δὲ Ζεύξιππον ἐρέσθαι, ⟨εἰ⟩ ἔτι χαλεπός ἐστι. ʽπρῶτος μὲν οὖν᾽ ⟨φάναι τὸν Διογ⟩ένη ʽσυνεχώρησε τῇ Ἰσμηνοδώρᾳ· καὶ νῦν ἑκὼν στέφανον καὶ λευκὸν ἱμάτιον λαβὼν οἷός ἐστιν ἡγεῖσθαι δι᾽ ἀγορᾶς πρὸς τὸν θεόν.᾽ ʽἀλλ᾽ ἴωμεν, ναὶ μὰ*
E *Δία᾽, τὸν πατέρ᾽ εἰπεῖν ʽἴωμεν, ὅπως ἐπεγγελάσωμεν τῷ ἀνδρὶ καὶ τὸν θεὸν προσκυνήσωμεν· δῆλος γάρ ἐστι χαίρων καὶ παρὼν εὐμενὴς τοῖς πραττομένοις.᾽*

## 48.

# *ΕΡΩΤΙΚΑΙ ΔΙΗΓΗΣΕΙΣ

## (Plan. 49)

### Α.

*Ἐν Ἁλιάρτῳ τῆς Βοιωτίας κόρη τις γίνεται κάλλει διαπρέπουσα ὄνομα Ἀριστόκλεια· θυγάτηρ δ᾽ ἦν Θεοφά-*
F *νους. ταύτην μνῶνται Στράτων Ὀρχομένιος καὶ Καλλισθένης Ἁλιάρτιος. πλουσιώτερος δ᾽ ἦν Στράτων καὶ μᾶλλόν τι τῆς παρθένου ἡττημένος· ἐτύγχανε γὰρ ἰδὼν*